# Kirke

Nitidi ... filia Solis
(Ovid, *Metamorphoses* XIV, 33)
Circae fraudes... herbaeque tenaces
(Propertius, III, XII, 27)

**Dramatis Personae**

ΟΔΥΣΣΕΥΣ 1 *(narrator)*

ΕΡΜΗΣ

ΕΥΡΥΛΟΧΟΣ

ΚΙΡΚΗ

ΟΔΥΣΣΕΥΣ 2 *(character)*

ΠΟΛΙΤΗΣ

ΣΕΙΡΗΝΕΣ

# Act 1

(79 lines as at 25 July)

## Circe’s Drugs

‘si non evanuit omnis
herbarum virtus, nec me mea carmina fallunt’
(Ovid, *Metamorphoses* XIV, 356-7)

ΟΔΥΣΣΕΥΣ 1

*ODYSSEA 10*

Αἰαίην δ’ ἐς νῆσον ἀφικόμεθ’· ἔνθα δ’ ἔναιε 135
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα. 136

ἔνθα δ’ ἐπ’ ἀκτῆς νηῒ κατηγαγόμεσθα σιωπῇ 140
ναύλοχον ἐς λιμένα, καί τις θεὸς ἡγεμόνευεν.
ἔνθα τότ’ ἐκβάντες δύο τ’ ἤματα καὶ δύο νύκτας
κείμεθ’, ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες.

ἀλλ’ ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ’ Ἠώς,
καὶ τότ’ ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ 145
καρπαλίμως παρὰ νηὸς ἀνήϊον ἐς περιωπήν,
εἴ πως ἔργα ἴδοιμι βροτῶν ἐνοπήν τε πυθοίμην.

ἔστην δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,
καί μοι ἐείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης
Κίρκης ἐν μεγάροισι διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.

μερμήριξα δ’ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
ἐλθεῖν ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
ὧδε δέ μοι φρονέοντι δοάσσατο κέρδιον εἶναι,
πρῶτ’ ἐλθόντ’ ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης
δεῖπνον ἑταίροισιν δόμεναι προέμεν τε πυθέσθαι.

κὰδ δ’ ἔβαλον προπάροιθε νεός, ἀνέγειρα δ’ ἑταίρους 172
μειλιχίοισ’ ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·

ΟΔΥΣΣΕΥΣ 2

ὦ φίλοι, οὐ γάρ πω καταδυσόμεθ’, ἀχνύμενοί περ,
εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ·
ἀλλ’ ἄγετ’, ὄφρ’ ἐν νηῒ θοῇ βρῶσίς τε πόσις τε,
μνησόμεθα βρώμης μηδὲ τρυχώμεθα λιμῷ. 177

ΟΔΥΣΣΕΥΣ 1

ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 183
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε, 185
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.

ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
καὶ τότ᾽ ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔειπον· 188

ΟΔΥΣΣΕΥΣ 2

ὦ φίλοι, οὐ γάρ ἴδμεν ὅπῃ ζόφος οὐδ᾽ ὅπη ἠώς, 190
οὐδ᾽ ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ᾽ ὑπὸ γαῖαν
οὐδ᾽ ὅπῃ ἀννεῖται· ἀλλὰ φραζώμεθα θᾶσσον,
εἴ τις ἔτ᾽ ἔσται μῆτις· ἐγὼ δ᾽ οὐκ οἴομαι εἶναι.

εἶδον γὰρ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν
νῆσον, τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται. 195
αὐτὴ δὲ χθαμαλὴ κεῖται· καπνὸν δ᾽ ἐνὶ μέσσῃ
ἔδρακον ὀφθαλμοῖσι διὰ δρυμὰ πυκνὰ καὶ ὕλην. 197

ΟΔΥΣΣΕΥΣ 1

αὐτὰρ ἐγὼ δίχα πάντας ἐϋκνήμιδας ἑταίρους
ἠρίθμεον, ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν ὄπασσα·
τῶν μὲν ἐγὼν ἦρχον, τῶν δ' Εὐρύλοχος θεοειδής.

κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλομεν ὦκα·
ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.
βῆ δ' ἰέναι, ἅμα τῷ γε δύω καὶ εἴκοσ' ἑταῖροι
κλαίοντες· κατὰ δ' ἄμμε λίπον γοόωντας ὄπισθεν.

εὗρον δ' ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης
ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.

ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι ἠδὲ λέοντες,
τοὺς αὐτὴ κατέθελξεν, ἐπεὶ κακὰ φάρμακ' ἔδωκεν.
οὐδ' οἵ γ' ὡρμήθησαν ἐπ' ἀνδράσιν, ἀλλ' ἄρα τοί γε
οὐρῇσιν μακρῇσι περισσαίνοντες ἀνέσταν.

ὡς δ’ ὅτ’ ἂν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα
σαίνωσ’· αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ·
ὣς τοὺς ἀμφὶ λύκοι κρατερώνυχες ἠδὲ λέοντες
σαῖνον· τοὶ δ’ ἔδδεισαν, ἐπεὶ ἴδον αἰνὰ πέλωρα.

ἔσταν δ’ ἐν προθύροισι θεᾶς καλλιπλοκάμοιο,
Κίρκης δ’ ἔνδον ἄκουον ἀειδούσης ὀπὶ καλῇ
ἱστὸν ἐποιχομένης μέγαν ἄμβροτον, οἷα θεάων
λεπτά τε καὶ χαρίεντα καὶ ἀγλαὰ ἔργα πέλονται.

τοῖσι δὲ μύθων ἦρχε Πολίτης, ὄρχαμος ἀνδρῶν,
ὅς μοι κήδιστος ἑτάρων ἦν κεδνότατός τε·

ΠΟΛΙΤΗΣ

ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν
καλὸν ἀοιδιάει, δάπεδον δ’ ἅπαν ἀμφιμέμυκεν,
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.

ὣς ἄρ’ ἐφώνησεν, τοὶ δ’ ἐφθέγγοντο καλεῦντες.
ἡ δ’ αἶψ’ ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς
καὶ κάλει· οἱ δ’ ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
Εὐρύλοχος δ’ ὑπέμεινεν· ὀΐσατο γὰρ δόλον εἶναι.

εἷσεν δ’ εἰσαγαγοῦσα κατὰ κλισμούς τε θρόνους τε,
ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι χλωρὸν
οἴνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δὲ σίτῳ
φάρμακα λύγρ’, ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.

αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ’ ἔπειτα
ῥάβδῳ πεπληγυῖα κατὰ συφεοῖσιν ἐέργνυ.
οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε
καὶ δέμας, αὐτὰρ νοῦς ἦν ἔμπεδος ὡς τὸ πάρος περ.

ὣς οἱ μὲν κλαίοντες ἐέρχατο· τοῖσι δὲ Κίρκη
πὰρ ἄκυλον βάλανόν τ’ ἔβαλεν καρπόν τε κρανείης
ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν.

# Act 2

(208 lines as at 25 July)

## Hermes’ Antidote

Tantum medicamina possunt!
(Ovid, *Metamorphoses* XIV, 285)

*ODYSSEA 10*

ΟΔΥΣΣΕΥΣ 1

Εὐρύλοχος δ’ ἂψ ἦλθε θοὴν ἐπὶ νῆα μέλαιναν,
ἀγγελίην ἑτάρων ἐρέων καὶ ἀδευκέα πότμον.

οὐδέ τι ἐκφάσθαι δύνατο ἔπος, ἱέμενός περ,
κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ἐν δέ οἱ ὄσσε
δακρυόφιν πίμπλαντο, γόον δ’ ὠΐετο θυμός.
ἀλλ’ ὅτε δή μιν πάντες ἀγαζόμεθ’ ἐξερέοντες,
καὶ τότε τῶν ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον·

ΕΥΡΥΛΟΧΟΣ

ᾔομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ’ Ὀδυσσεῦ·
εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλὰ
ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.

ἔνθα δέ τις μέγαν ἱστὸν ἐποιχομένη λίγ’ ἄειδεν
ἢ θεὸς ἠὲ γυνή· τοὶ δ’ ἐφθέγγοντο καλεῦντες.

ἡ δ’ αἶψ’ ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς
καὶ κάλει· οἱ δ’ ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
αὐτὰρ ἐγὼν ὑπέμεινα, ὀϊσάμενος δόλον εἶναι.

οἱ δ’ ἅμ’ ἀϊστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν
ἐξεφάνη· δηρὸν δὲ καθήμενος ἐσκοπίαζον. 260

ΟΔΥΣΣΕΥΣ 1

ὣς ἔφατ’, αὐτὰρ ἐγὼ περὶ μὲν ξίφος ἀργυρόηλον
ὤμοιϊν βαλόμην, μέγα χάλκεον, ἀμφὶ δὲ τόξα·
τὸν δ’ ἂψ ἠνώγεα αὐτὴν ὁδὸν ἡγήσασθαι.
αὐτὰρ ὅ γ’ ἀμφοτέρῃσι λαβὼν ἐλλίσσετο γούνων· 264

ΕΥΡΥΛΟΧΟΣ

μή μ’ ἄγε κεῖσ’ ἀέκοντα, διοτρεφές, ἀλλὰ λίπ’ αὐτοῦ· 266
οἶδα γὰρ ὡς οὔτ’ αὐτὸς ἐλεύσεαι οὔτε τιν’ ἄλλον
ἄξεις σῶν ἑτάρων. ἀλλὰ ξὺν τοίσδεσι θᾶσσον
φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ. 269

ΟΔΥΣΣΕΥΣ 2

Εὐρύλοχ’, ἦ τοι μὲν σὺ μέν’ αὐτοῦ τῷδ’ ἐνὶ χώρῳ 271
ἔσθων καὶ πίνων κοίλῃ παρὰ νηῒ μελαίνῃ·
αὐτὰρ ἐγὼν εἶμι· κρατερὴ δέ μοι ἔπλετ’ ἀνάγκη.

ΟΔΥΣΣΕΥΣ 1

ὣς εἰπὼν παρὰ νηὸς ἀπήϊον ἠδὲ θαλάσσης.
ἀλλ’ ὅτε δὴ ἄρ’ ἔμελλον ἰὼν ἱερὰς ἀνὰ βήσσας
Κίρκης ἵξεσθαι πολυφαρμάκου ἐς μέγα δῶμα,

ἔνθα μοι Ἑρμείας χρυσόρραπις ἀντεβόλησεν
ἐρχομένῳ πρὸς δῶμα, νεηνίῃ ἀνδρὶ ἐοικώς,
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη·
ἔν τ’ ἄρα μοι φῦ χειρὶ ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε·

ΕΡΜΗΣ

πῇ δὴ αὖτ’, ὦ δύστηνε, δι’ ἄκριας ἔρχεαι οἶος,
χώρου ἄϊδρις ἐών; ἕταροι δέ τοι οἵδ’ ἐνὶ Κίρκης
ἔρχαται ὥς τε σύες πυκινοὺς κευθμῶνας ἔχοντες.
ἦ τοὺς λυσόμενος δεῦρ’ ἔρχεαι; οὐδέ σέ φημι
αὐτὸν νοστήσειν, μενέεις δὲ σύ γ’ ἔνθα περ ἄλλοι.

ἀλλ’ ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω·
τῆ, τόδε φάρμακον ἐσθλὸν ἔχων ἐς δώματα Κίρκης
ἔρχευ, ὅ κέν τοι κρατὸς ἀλάλκῃσιν κακὸν ἦμαρ.

πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης.
τεύξει τοι κυκεῶ, βαλέει δ’ ἐν φάρμακα σίτῳ·
ἀλλ’ οὐδ’ ὧς θέλξαι σε δυνήσεται· οὐ γὰρ ἐάσει
φάρμακον ἐσθλόν, ὅ τοι δώσω, ἐρέω δὲ ἕκαστα.

ὁππότε κεν Κίρκη σ’ ἐλάσῃ περιμήκεϊ ῥάβδῳ,
δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Κίρκῃ ἐπαΐξαι ὥς τε κτάμεναι μενεαίνων.

ἡ δέ σ’ ὑποδδείσασα κελήσεται εὐνηθῆναι·
ἔνθα σὺ μηκέτ’ ἔπειτ’ ἀπανήνασθαι θεοῦ εὐνήν,
ὄφρα κέ τοι λύσῃ θ’ ἑτάρους αὐτόν τε κομίσσῃ·

ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι
μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο,
μή σ’ ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃ.

ὣς ἄρα φωνήσας πόρε φάρμακον Ἀργεϊφόντης
ἐκ γαίης ἐρύσας καί μοι φύσιν αὐτοῦ ἔδειξε.
ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος·
μῶλυ δέ μιν καλέουσι θεοί, χαλεπὸν δέ τ᾽ ὀρύσσειν
ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.

Ἑρμείας μὲν ἔπειτ᾽ ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
νῆσον ἀν᾽ ὑλήεσσαν, ἐγὼ δ᾽ ἐς δώματα Κίρκης
ἤϊα· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.

ἔστην δ᾽ εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
ἔνθα στὰς ἐβόησα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς.

ἡ δ᾽ αἶψ᾽ ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς
καὶ κάλει· αὐτὰρ ἐγὼν ἑπόμην ἀκαχήμενος ἦτορ.
εἷσε δέ μ᾽ εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
καλοῦ δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·

τεῦχε δέ μοι κυκεῶ χρυσέῳ δέπᾳ, ὄφρα πίοιμι,
ἐν δέ τε φάρμακον ἧκε, κακὰ φρονέουσ’ ἐνὶ θυμῷ.
αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον οὐδέ μ’ ἔθελξε,
ῥάβδῳ πεπληγυῖα ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζεν·

KIRKH

ἔρχεο νῦν συφεόνδε, μετ’ ἄλλων λέξο ἑταίρων.

ΟΔΥΣΣΕΥΣ 1

ὣς φάτ’, ἐγὼ δ’ ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Κίρκῃ ἐπήϊξα ὥς τε κτάμεναι μενεαίνων.
ἡ δὲ μέγα ἰάχουσα ὑπέδραμε καὶ λάβε γούνων·

KIRKH

τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
θαῦμά μ’ ἔχει, ὡς οὔ τι πιὼν τάδε φάρμακ’ ἐθέλχθης.
οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ’ ἀνέτλη,
ὅς κε πίῃ καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων·
σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.

ἦ σύ γ᾽ Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν τέ μοι αἰεὶ
φάσκεν ἐλεύσεσθαι χρυσόρραπις Ἀργεϊφόντης,
ἐκ Τροίης ἀνιόντα θοῇ σὺν νηῒ μελαίνῃ.

ἀλλ᾽ ἄγε δὴ κολεῷ μὲν ἄορ θέο, νῶϊ δ᾽ ἔπειτα
εὐνῆς ἡμετέρης ἐπιβήομεν, ὄφρα μιγέντε
εὐνῇ καὶ φιλότητι πεποίθομεν ἀλλήλοισιν.

ΟΔΥΣΣΕΥΣ 2

ὦ Κίρκη, πῶς γάρ με κέλῃ σοὶ ἤπιον εἶναι, 337
ἥ μοι σῦς μὲν ἔθηκας ἐνὶ μεγάροισιν ἑταίρους,
αὐτὸν δ᾽ ἐνθάδ᾽ ἔχουσα δολοφρονέουσα κελεύεις
ἐς θάλαμόν τ᾽ ἰέναι καὶ σῆς ἐπιβήμεναι εὐνῆς,
ὄφρα με γυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃς.

οὐδ᾽ ἂν ἐγώ γ᾽ ἐθέλοιμι τεῆς ἐπιβήμεναι εὐνῆς,
εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι,
μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.

ΟΔΥΣΣΕΥΣ 1

ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀπώμνυεν, ὡς ἐκέλευον.
αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
καὶ τότ' ἐγὼ Κίρκης ἐπέβην περικαλλέος εὐνῆς.

ἀμφίπολοι δ' ἄρα τεῖος ἐνὶ μεγάροισι πένοντο
τέσσαρες, αἵ οἱ δῶμα κάτα δρήστειραι ἔασι.
αὐτὰρ ἐπεὶ λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ
*ἀμφίπολος χλαῖναν καλὴν βάλεν ἠδὲ χιτῶνα,
εἷσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
ἐσθέμεναι δ' ἐκέλευεν·

ἐμῷ δ' οὐχ ἥνδανε θυμῷ,
ἀλλ' ἥμην ἀλλοφρονέων, κακὰ δ' ὄσσετο θυμός.
Κίρκη δ' ὡς ἐνόησεν ἔμ' ἥμενον οὐδ' ἐπὶ σίτῳ
χεῖρας ἰάλλοντα, στυγερὸν δέ με πένθος ἔχοντα,
ἄγχι παρισταμένη ἔπεα πτερόεντα προσηύδα·

KIRKH

τίφθ' οὕτως, Ὀδυσεῦ, κατ' ἄρ' ἕζεαι ἶσος ἀναύδῳ,
θυμὸν ἔδων, βρώμης δ' οὐχ ἅπτεαι οὐδὲ ποτῆτος;
ἦ τινά που δόλον ἄλλον ὀΐεαι; οὐδέ τί σε χρὴ

δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον. 381

ΟΔΥΣΣΕΥΣ 2

ὦ Κίρκη, τίς γάρ κεν ἀνήρ, ὃς ἐναίσιμος εἴη, 383
πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;
ἀλλ' εἰ δὴ πρόφρασσα πιεῖν φαγέμεν τε κελεύεις,
λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω ἐρίηρας ἑταίρους.

ΟΔΥΣΣΕΥΣ 1

ὣς ἐφάμην, Κίρκη δὲ διὲκ μεγάροιο βεβήκει
ῥάβδον ἔχουσ' ἐν χειρί, θύρας δ' ἀνέῳξε συφειοῦ,
ἐκ δ' ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.
οἱ μὲν ἔπειτ' ἔστησαν ἐναντίοι, ἡ δὲ δι' αὐτῶν
ἐρχομένη προσάλειφεν ἑκάστῳ φάρμακον ἄλλο.

τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔρρεον, ἃς πρὶν ἔφυσε
φάρμακον οὐλόμενον, τό σφιν πόρε πότνια Κίρκη·
ἄνδρες δ' ἂψ ἐγένοντο νεώτεροι ἢ πάρος ἦσαν
καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι.

ἔγνωσαν δέ με κεῖνοι, ἔφυν τ' ἐν χερσὶν ἕκαστος·
πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα
σμερδαλέον κονάβιζε· θεὰ δ' ἐλέαιρε καὶ αὐτή.

ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων·

KIRKH

διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἤπειρόνδε,
κτήματα δ’ ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα·
αὐτὸς δ’ ἂψ ἰέναι καὶ ἄγειν ἐρίηρας ἑταίρους.

ΟΔΥΣΣΕΥΣ 1

ὣς ἔφατ’, αὐτὰρ ἐμοί γ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ,
βῆν δ’ ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
εὗρον ἔπειτ’ ἐπὶ νηῒ θοῇ ἐρίηρας ἑταίρους
οἴκτρ’ ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας.

ὡς δ’ ὅτε ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας,
ἐλθούσας ἐς κόπρον, ἐπὴν βοτάνης κορέσωνται,
πᾶσαι ἅμα σκαίρουσιν ἐναντίαι· οὐδ’ ἔτι σηκοὶ
ἴσχουσ’, ἀλλ’ ἁδινὸν μυκώμεναι ἀμφιθέουσι
μητέρας· ὣς ἐμὲ κεῖνοι, ἐπεὶ ἴδον ὀφθαλμοῖσι,
δακρυόεντες ἔχυντο·

δόκησε δ’ ἄρα σφίσι θυμὸς

ὣς ἔμεν, ὡς εἰ πατρίδ’ ἱκοίατο καὶ πόλιν αὐτὴν
τρηχείης Ἰθάκης, ἵνα τ’ ἔτραφον ἠδ’ ἐγένοντο·
καί μ’ ὀλοφυρόμενοι ἔπεα πτερόεντα προσηύδων·

ΠΟΛΙΤΗΣ *(on behalf of all companions)*

σοὶ μὲν νοστήσαντι, διοτρεφές, ὣς ἐχάρημεν,
ὡς εἴ τ’ εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν· 420
ἀλλ’ ἄγε, τῶν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον. 421

ΟΔΥΣΣΕΥΣ 2

νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσομεν ἤπειρόνδε, 423
κτήματα δ’ ἐν σπήεσσι πελάσσομεν ὅπλα τε πάντα·
αὐτοὶ δ’ ὀτρύνεσθε ἐμοὶ ἅμα πάντες ἕπεσθαι, 425
ὄφρα ἴδηθ’ ἑτάρους ἱεροῖσ’ ἐν δώμασι Κίρκης
πίνοντας καὶ ἔδοντας· ἐπηετανὸν γὰρ ἔχουσιν.

ΟΔΥΣΣΕΥΣ 1

ὣς ἐφάμην, οἱ δ’ ὦκα ἐμοῖσ’ ἐπέεσσι πίθοντο·
Εὐρύλοχος δέ μοι οἶος ἐρύκακε πάντας ἑταίρους· 429

ΕΥΡΥΛΟΧΟΣ

ἆ δειλοί, πόσ’ ἴμεν; τί κακῶν ἱμείρετε τούτων; 431
Κίρκης ἐς μέγαρον καταβήμεναι, ἥ κεν ἅπαντας
ἢ σῦς ἠὲ λύκους ποιήσεται ἠὲ λέοντας,

οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκῃ,

ὥς περ Κύκλωψ ἕρξ', ὅτε οἱ μέσσαυλον ἵκοντο
ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς·
τούτου γὰρ καὶ κεῖνοι ἀτασθαλίῃσιν ὄλοντο.

ΟΔΥΣΣΕΥΣ 1

ὣς ἔφατ', αὐτὰρ ἐγώ γε μετὰ φρεσὶ μερμήριξα,
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
τῷ οἱ ἀποτμήξας κεφαλὴν οὖδάσδε πελάσσαι,
καὶ πηῷ περ ἐόντι μάλα σχεδόν· ἀλλά μ' ἑταῖροι
μειλιχίοισ' ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·

ΠΟΛΙΤΗΣ *(on behalf of all companions)*

διογενές, τοῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις,
αὐτοῦ πὰρ νηΐ τε μένειν καὶ νῆα ἔρυσθαι·
ἡμῖν δ' ἡγεμόνευ' ἱερὰ πρὸς δώματα Κίρκης.

ΟΔΥΣΣΕΥΣ 1

ὣς φάμενοι παρὰ νηὸς ἀνήϊον ἠδὲ θαλάσσης.
οὐδὲ μὲν Εὐρύλοχος κοίλῃ παρὰ νηῒ λέλειπτο,

ἀλλ’ ἕπετ’· ἔδδεισεν γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν.

τόφρα δὲ τοὺς ἄλλους ἑτάρους ἐν δώμασι Κίρκη 449
δαινυμένους δ’ εὖ πάντας ἐφεύρομεν ἐν μεγάροισιν. 452
οἱ δ’ ἐπεὶ ἀλλήλους εἶδον φράσσαντό τ’ ἐσάντα,
κλαῖον ὀδυρόμενοι, περὶ δὲ στεναχίζετο δῶμα.
ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων· 455

ΚΙΡΚΗ

διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτή,
ἠμὲν ὅσ’ ἐν πόντῳ πάθετ’ ἄλγεα ἰχθυόεντι,
ἠδ’ ὅσ’ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ’ ἐπὶ χέρσου.

ἀλλ’ ἄγετ’ ἐσθίετε βρώμην καὶ πίνετε οἶνον, 460
εἰς ὅ κεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
οἷον ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
τρηχείης Ἰθάκης·

νῦν δ’ ἀσκελέες καὶ ἄθυμοι,
αἰὲν ἄλης χαλεπῆς μεμνημένοι· οὐδέ ποθ’ ὔμιν
θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ ἦ μάλα πολλὰ πέπασθε. 465

ΟΔΥΣΣΕΥΣ 1

ὣς ἔφαθ’, ἡμῖν δ’ αὖτ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
ἥμεθα, δαινύμενοι κρέα τ’ ἄσπετα καὶ μέθυ ἡδύ. 468

*Note*
*There will four possibilities in any performance at this point:*
*(a) stop here;*
*(b) continue with* Antikleia*, which begins at the very next line, 469;*
*(c) proceed to the optional third act;*
*(d) proceed to the optional epilogue.*

# Act 3

(107 lines as at 25 July)

Poi ch’ell’ avea ’l parlar così disciolto,
  cominciava a cantar sì, che con pena
  da lei avrei mio intento rivolto.
“Io son”, cantava, “io son dolce serena,
  che ’ marinari in mezzo mar dismago;
  tanto son di piacere a sentir piena!
Io volsi Ulisse del suo cammin vago
  al canto mio; e qual meco s’ausa,
  rado sen parte; sì tutto l’appago!”
(Dante, *Purgatorio* XIX, 16-24)

# The Sirens’ Song

*(NB This optional act takes place after Odysseus’s return to Aiaia from the voyage to Cimmeria which is the subject of* Antikleia. *It will need an introduction stating that fact, no more than 3-5 lines, adapted from Book 10, lines 490-3, in the light of 563-5, with an eye on Book 11, 69-70 and perhaps 475-6.)*

*ODYSSEA 12*

ΟΔΥΣΣΕΥΣ 1

Αὐτὰρ ἐπεὶ ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο
νηῦς, ἀπὸ δ’ ἵκετο κῦμα θαλάσσης εὐρυπόροιο
νῆσόν τ’ Αἰαίην, ὅθι τ’ Ἠοῦς ἠριγενείης
οἰκία καὶ χοροί εἰσι καὶ ἀντολαὶ Ἠελίοιο,

νῆα μὲν ἔνθ’ ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν,
ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης.

οὐδ’ ἄρα Κίρκην 16
ἐξ Ἀΐδεω ἐλθόντες ἐλήθομεν, ἀλλὰ μάλ’ ὦκα
ἦλθ’ ἐντυναμένη· ἅμα δ’ ἀμφίπολοι φέρον αὐτῇ
σῖτον καὶ κρέα πολλὰ καὶ αἴθοπα οἶνον ἐρυθρόν.
ἡ δ’ ἐν μέσσῳ στᾶσα μετηύδα δῖα θεάων·

ΚΙΡΚΗ

σχέτλιοι, οἳ ζώοντες ὑπήλθετε δῶμ’ Ἀΐδαο,
δισθανέες, ὅτε τ’ ἄλλοι ἅπαξ θνῄσκουσ’ ἄνθρωποι.
ἀλλ’ ἄγετ’ ἐσθίετε βρώμην καὶ πίνετε οἶνον
αὖθι πανημέριοι·

ἅμα δ’ ἠόϊ φαινομένηφι
πλεύσεσθ’· αὐτὰρ ἐγὼ δείξω ὁδὸν ἠδὲ ἕκαστα
σημανέω, ἵνα μή τι κακορραφίῃ ἀλεγεινῇ
ἢ ἁλὸς ἢ ἐπὶ γῆς ἀλγήσετε πῆμα παθόντες. 27

ΟΔΥΣΣΕΥΣ 1

ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 29
ἥμεθα δαινύμενοι κρέα τ’ ἄσπετα καὶ μέθυ ἡδύ·
ἦμος δ’ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
οἱ μὲν κοιμήσαντο παρὰ πρυμνήσια νηός,

ἡ δ’ ἐμὲ χειρὸς ἑλοῦσα φίλων ἀπονόσφιν ἑταίρων
εἷσέ τε καὶ προσέλεκτο καὶ ἐξερέεινεν ἕκαστα·
αὐτὰρ ἐγὼ τῇ πάντα κατὰ μοῖραν κατέλεξα.
καὶ τότε δή μ’ ἐπέεσσι προσηύδα πότνια Κίρκη·

ΚΙΡΚΗ

ταῦτα μὲν οὕτω πάντα πεπείρανται, σὺ δ’ ἄκουσον,
ὥς τοι ἐγὼν ἐρέω, μνήσει δέ σε καὶ θεὸς αὐτός.
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας
ἀνθρώπους θέλγουσιν, ὅτίς σφεας εἰσαφίκηται.

ὅς τις ἀϊδρείῃ πελάσῃ καὶ φθόγγον ἀκούσῃ
Σειρήνων, τῷ δ’ οὔ τι γυνὴ καὶ νήπια τέκνα
οἴκαδε νοστήσαντι παρίσταται οὐδὲ γάνυνται,

ἀλλά τε Σειρῆνες λιγυρῇ θέλγουσιν ἀοιδῇ,
ἥμεναι ἐν λειμῶνι· πολὺς δ’ ἀμφ’ ὀστεόφιν θὶς
ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσιν.

ἀλλὰ παρὲξ ἐλάαν, ἐπὶ δ’ οὔατ’ ἀλεῖψαι ἑταίρων
κηρὸν δεψήσας μελιηδέα, μή τις ἀκούσῃ
τῶν ἄλλων·

ἀτὰρ αὐτὸς ἀκουέμεν αἴ κ’ ἐθέλῃσθα,
δησάντων σ’ ἐν νηῒ θοῇ χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ’ αὐτοῦ πείρατ’ ἀνήφθω,
ὄφρα κε τερπόμενος ὄπ’ ἀκούσῃς Σειρήνοιϊν.

εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύῃς,
οἱ δέ σ’ ἔτι πλεόνεσσι τότ’ ἐν δεσμοῖσι διδέντων.
αὐτὰρ ἐπὴν δὴ τάς γε παρὲξ ἐλάσωσιν ἑταῖροι,
ἔνθα τοι οὐκέτ’ ἔπειτα διηνεκέως ἀγορεύσω,
ὁπποτέρῃ δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
θυμῷ βουλεύειν. 58

## ΟΔΥΣΣΕΥΣ 1

ὣς ἔφατ’, αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς. 142
ἡ μὲν ἔπειτ’ ἀνὰ νῆσον ἀπέστιχε δῖα θεάων·
αὐτὰρ ἐγὼν ἐπὶ νῆα κιὼν ὤτρυνον ἑταίρους
αὐτούς τ’ ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
οἱ δ’ αἶψ’ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
ἑξῆς δ’ ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.

ἡμῖν δ’ αὖ κατόπισθε νεὸς κυανοπρῴροιο
ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.

αὐτίκα δ’ ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
ἥμεθα· τὴν δ’ ἄνεμός τε κυβερνήτης τ’ ἴθυνε.
δὴ τότ’ ἐγὼν ἑτάροισι μετηύδων ἀχνύμενος κῆρ·

ΟΔΥΣΣΕΥΣ 2

ὦ φίλοι, οὐ γὰρ χρὴ ἕνα ἴδμεναι οὐδὲ δύ’ οἴους
θέσφαθ’, ἅ μοι Κίρκη μυθήσατο, δῖα θεάων·
ἀλλ’ ἐρέω μὲν ἐγών, ἵνα εἰδότες ἠὲ θάνωμεν
ἤ κεν ἀλευάμενοι θάνατον καὶ κῆρα φύγοιμεν.

Σειρήνων μὲν πρῶτον ἀνώγει θεσπεσιάων
φθόγγον ἀλεύασθαι καὶ λειμῶν’ ἀνθεμόεντα.
οἶον ἔμ’ ἠνώγει ὄπ’ ἀκουέμεν·

ἀλλά με δεσμῷ
δήσατ’ ἐν ἀργαλέῳ, ὄφρ’ ἔμπεδον αὐτόθι μίμνω,
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ’ αὐτοῦ πείρατ’ ἀνήφθω.
εἰ δέ κε λίσσωμαι ὑμέας λῦσαί τε κελεύω,
ὑμεῖς δὲ πλεόνεσσι τότ’ ἐν δεσμοῖσι πιέζειν.

ΟΔΥΣΣΕΥΣ 1

ἦ τοι ἐγὼ τὰ ἕκαστα λέγων ἑτάροισι πίφαυσκον·
τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς ἐϋεργὴς
νῆσον Σειρήνοιϊν· ἔπειγε γὰρ οὖρος ἀπήμων.

αὐτίκ’ ἔπειτ’ ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη
ἔπλετο νηνεμίη, κοίμησε δὲ κύματα δαίμων.
ἀνστάντες δ’ ἕταροι νεὸς ἱστία μηρύσαντο,
καὶ τὰ μὲν ἐν νηῒ γλαφυρῇ θέσαν, οἱ δ’ ἐπ’ ἐρετμὰ
ἑζόμενοι λεύκαινον ὕδωρ ξεστῇσ’ ἐλάτῃσιν.

αὐτὰρ ἐγὼ κηροῖο μέγαν τροχὸν ὀξέϊ χαλκῷ
τυτθὰ διατμήξας χερσὶ στιβαρῇσι πίεζον·
αἶψα δ’ ἰαίνετο κηρός, ἐπεὶ κέλετο μεγάλη ἲς
Ἠελίου τ’ αὐγὴ Ὑπεριονίδαο ἄνακτος·
ἑξείης δ’ ἑτάροισιν ἐπ’ οὔατα πᾶσιν ἄλειψα.

οἱ δ' ἐν νηΐ μ' ἔδησαν ὁμοῦ χεῖράς τε πόδας τε
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνῆπτον·
αὐτοὶ δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.

ἀλλ' ὅτε τόσσον ἀπῆμεν, ὅσον τε γέγωνε βοήσας,
ῥίμφα διώκοντες, τὰς δ' οὐ λάθεν ὠκύαλος νηῦς
ἐγγύθεν ὀρνυμένη, λιγυρὴν δ' ἔντυνον ἀοιδήν·

ΣΕΙΡΗΝΕΣ

δεῦρ' ἄγ' ἰών, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
νῆα κατάστησον, ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς.

οὐ γάρ πώ τις τῇδε παρήλασε νηῒ μελαίνῃ,
πρίν γ' ἡμέων μελίγηρυν ἀπὸ στομάτων ὄπ' ἀκοῦσαι,
ἀλλ' ὅ γε τερψάμενος νεῖται καὶ πλείονα εἰδώς.

ἴδμεν γάρ τοι πάνθ', ὅσ' ἐνὶ Τροίῃ εὐρείῃ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν,

ἴδμεν δ’ ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ.

ΟΔΥΣΣΕΥΣ 1

ὣς φάσαν ἱεῖσαι ὄπα κάλλιμον· αὐτὰρ ἐμὸν κῆρ
ἤθελ’ ἀκουέμεναι, λῦσαί τ’ ἐκέλευον ἑταίρους
ὀφρύσι νευστάζων· οἱ δὲ προπεσόντες ἔρεσσον.

αὐτίκα δ’ ἀνστάντες Περιμήδης Εὐρύλοχός τε
πλείοσί μ’ ἐν δεσμοῖσι δέον μᾶλλόν τε πίεζον.

αὐτὰρ ἐπεὶ δὴ τάς γε παρήλασαν οὐδ’ ἔτ’ ἔπειτα
φθόγγον Σειρήνων ἠκούομεν οὐδέ τ’ ἀοιδήν,
αἶψ’ ἀπὸ κηρὸν ἕλοντο ἐμοὶ ἐρίηρες ἑταῖροι,
ὅν σφιν ἐπ’ ὠσὶν ἄλειψ’, ἐμέ τ’ ἐκ δεσμῶν ἀνέλυσαν.

# Epilogue

(24 lines as at 25 July)

# Circe's Lament

*(NB This Ovidian postlude would be performed either instead of* Antikleia *or instead of Act 3 — although it might conceivably be used* *<u>after</u>* *Act 3 in order to allow the play to end with the eponymous heroine).*

*REMEDIA AMORIS*

OVIDIUS

Quid tibi profuerunt, Circe, Perseides herbae,
  Cum sua Neritias abstulit aura rates?
Omnia fecisti, ne callidus hospes abiret:
  Ille dedit certae lintea plena fugae.

Omnia fecisti, ne te ferus ureret ignis:
  Longus in invito pectore sedit amor.
Vertere tu poteras homines in mille figuras,
  Non poteras animi vertere iura tui.

Diceris his etiam, cum iam discedere vellet,
  Dulichium verbis detinuisse ducem:

CIRCE

Non ego, quod primo, memini, sperare solebam,
  Iam precor, ut coniunx tu meus esse velis;
Et tamen, ut coniunx essem tua, digna videbar,
  Quod dea, quod magni filia Solis eram.

Ne properes, oro; spatium pro munere posco:
  Quid minus optari per mea vota potest?
Et freta mota vides, et debes illa timere:
  Utilior velis postmodo ventus erit.

Quae tibi causa fugae? non hic nova Troia resurgit,
  Non aliquis socios rursus ad arma vocat.
Hic amor et pax est, in qua male vulneror una,
  Tutaque sub regno terra futura tuo est.

OVIDIUS

Illa loquebatur, navem solvebat Ulixes:
  Inrita cum velis verba tulere Noti.

ΤΕΛΟΣ